Ἐὰν ἦ τέσσαρες εὐθεῖαι ἀνά-
λογον ὦσι καὶ τὰ ἀπ' αὐτῶν
εὐθύγραμμα ὅμοιά τε
καὶ ὁμοίως ἀναγεγραμμένα
ἀνάλογον. κβ΄ τοῦ ς΄.

τοῦτο ἐφεξῆς δεί-
κνυται

ἀπὸ δὲ τῶν ΕΖ, ΖΦ ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα εὐθύγραμ-
μα τὰ ΔΕΖ, ΡΦΖ· ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς
τὸ ΛΞΓ τρίγωνον, οὕτως τὸ ΔΕΖ τρίγωνον πρὸς
τὸ ΡΦΖ τρίγωνον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ΑΒΓ τρί-
γωνον πρὸς τὸ ΔΕΖ τρίγωνον, οὕτως τὸ ΛΞΓ τρίγω-
νον πρὸς τὸ ΡΦΖ τρίγωνον. ἀλλ' ὡς τὸ ΛΞΓ τρίγωνον
πρὸς τὸ ΡΦΖ τρίγωνον, οὕτως τὸ πρίσμα οὗ βάσις
μέν ἐστι τὸ ΛΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΟΜΝ
πρὸς τὸ πρίσμα οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον,
ἀπεναντίον δὲ τὸ ΣΤΥ· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγω-
νον πρὸς τὸ ΔΕΖ τρίγωνον, οὕτως τὸ πρίσμα οὗ
βάσις μὲν τὸ ΛΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΟΜΝ
πρὸς τὸ πρίσμα οὗ βάσις μὲν τὸ ΡΦΖ, ἀπεναντί-
ον δὲ τὸ ΣΤΥ. καὶ ἐπεὶ τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο
πρίσματα ἐστὶν ἴσα ἀλλήλοις, ἀλλὰ μὴν καὶ τὰ ἐν τῇ
ΔΕΖΘ πυραμίδι δύο πρίσματα ἴσα ἀλλήλοις ἐστίν.
ἔστιν ἄρα ὡς τὸ πρίσμα οὗ βάσις τὸ ΒΚΛΞ παραλληλό-
γραμμον, ἀπεναντίον δὲ ἡ ΜΟ εὐθεῖα, πρὸς τὸ πρίσμα
οὗ βάσις μὲν τὸ ΛΞΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ
ΟΜΝ, οὕτως τὸ πρίσμα οὗ βάσις τὸ ΠΕΡΦ, ἀπεναντί-
ον δὲ ἡ ΣΤ πρὸς τὸ πρίσμα οὗ βάσις μὲν τὸ ΡΦΖ τρί-
γωνον, ἀπεναντίον δὲ τὸ ΣΤΥ· συνθέντι ἔστιν ἄρα
ὡς τὰ ΚΒΞΛ, ΜΟ, ΛΞΓ, ΜΝΟ πρίσματα πρὸς τὸ ΛΞΓ,
ΜΝΟ πρίσμα, οὕτως τὰ ΠΕΦΡ, ΣΤ, ΡΦΖ, ΣΤΥ πρίσμα-
τα πρὸς τὸ ΡΦΖ, ΣΤΥ πρίσμα· ἐναλλὰξ ἄρα ἐστὶν ὡς
τὰ ΚΒΛΞ, ΜΟ, ΞΛΓ, ΜΝΟ πρίσματα πρὸς τὰ ΠΕΦΡ, ΣΤ, ΡΦΖ, ΣΤΥ

δ΄ τοῦ γ΄ τοῦ ιβ΄

---

πρίσματα. οὕτω τὸ ΛΞΓ ΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖ ΣΤΥ
πρίσμα· ὡς δὲ τὸ ΛΞΓ ΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖ ΣΤΥ
πρίσμα, οὕτως ἐδείχθη ἡ ΛΞΓ βάσις πρὸς τὴν ΡΦΖ
καὶ ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν· καὶ ὡς ἄρα τὸ ΑΒΓ
τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον, οὕτως τὰ ἐν τῇ
ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ
πυραμίδι δύο πρίσματα. ὁμοίως δὲ κἂν τὰς γενο-
μένας πυραμίδας διέλωμεν τὸν αὐτὸν τρόπον, οἷ-
ον ὡς τὰς ΜΝΟΗ ΣΤΥΘ, ἔσται ὡς ἡ ΜΝΟ βάσις πρὸς
τὴν ΣΤΥ βάσιν, οὕτως τὰ ἐν τῇ ΜΝΟΗ πυραμίδι
δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύο
πρίσματα· ἀλλ' ὡς ἡ ΜΝΟ βάσις πρὸς τὴν ΣΤΥ βά-
σιν, οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν· καὶ ὡς
ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως καὶ τὰ
ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ
ΔΕΖΘ πυραμίδι δύο πρίσματα, καὶ τὰ ἐν τῇ ΜΝΟΗ
πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΥΘ πυραμίδι δύ-
ο πρίσματα, καὶ τὰ τέσσαρα πρὸς τὰ τέσσαρα. τὰ αὐτὰ
δὲ δειχθήσεται καὶ ἐπὶ τῶν γενομένων πρισμάτων
ἐκ τῆς διαιρέσεως τῶν ΑΚΛΟ καὶ ΔΠΡΣ πυραμίδων καὶ
ἁπάντων ἁπλῶς τῶν ἰσοπληθῶν. ὅτι δέ ἐστιν ὡς
τὸ ΛΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον, οὕτως τὸ
πρίσμα οὗ βάσις τὸ ΛΞΓ τρίγωνον, ἀπεναντί-
ον δὲ τὸ ΟΜΝ πρὸς τὸ πρίσμα οὗ βάσις μὲν τὸ ΡΦΖ
τρίγωνον, ἀπεναντίον δὲ τὸ ΣΤΥ, οὕτω δεικτέον·
ἐπεὶ γὰρ τῆς αὐτῆς καταγραφῆς νενοήσθωσαν αἱ

ἀπολείπει